XXI (IV) τῶν Ἀθηναίων.
5 ἐγὼ δὲ οὔτε πρότε-
ρον οὐδενὸς ἂν μνη-
σθείην ἢ τούτου,
οὔτε πλείους οἶμαι
δεῖν λόγους ποιεῖ-
σθαι περὶ ἄλλου τινός, ἢ
ὅπως ἐν δημοκρα-
τίαι κύριοι οἱ νόμοι
ἔσονται, καὶ αἱ εἰσαγ-
γελίαι καὶ αἱ ἄλλαι κρί-
σεις κατὰ τοὺς νό-
μους εἰσί[[σ]]ασιν εἰς
τὸ δικαστήριον· διὰ
τοῦτο γὰρ ὑμεῖς ὑπὲρ
ἁπάντων τῶν ἀδι-
κημάτων, ὅσα ἔστιν
ἐν τῇ πόλει, νόμους
ἔθεσθε χωρὶς περὶ
ἑκάστου αὐτῶν.
6 ἀσεβεῖ τις περὶ τὰ ἱερά·
γραφαὶ ἀσεβείας
πρὸς τὸν βασιλέα.
φαῦλός ἐστι πρὸς
τοὺς ἑαυτοῦ γονεῖς·
ὁ ἄρχων ἐπὶ τούτου
κάθηται. παράνο-
μά τις ἐν τῇ πόλει
γράφει· θεσμοθε- XXII (V)
τῶν συνέδριόν ἐστι.
ἀπαγωγῆς ἄξια ποι-
εῖ· ἀρχὴ τῶν ἕνδεκα
καθέστηκε. τὸν αὐ-
τὸν δὲ τρόπον καὶ ἐ-
πὶ τῶν ἄλλων ἀδικη-
μάτων ἁπάντων
καὶ νόμους καὶ ἀρ-
χὰς καὶ δικαστήρια
τὰ προσήκοντα ἑκά-
στοις αὐτῶν ἀπέδο-
7 τε. ὑπὲρ τίνων οὖν
οἴεσθε δεῖν τὰς εἰ-
σαγγελίας γίγνεσθαι;
τοῦτ' ἤδη καθ' ἕκαστον
ἐν τῶι νόμωι ἐγρά-
ψατε, ἵνα μὴ ἀγνοῇ
μηδείς. ἐάν τις, φησί,
τὸν δῆμον τὸν Ἀθη-
ναίων καταλύῃ· εἰ-
κότως ὦ ἄνδρες δικα-
σταί· ἡ γὰρ τοιαύτη αἰ-
τία οὐ παραδέχεται
σκῆψι[ν ο]ὐδεμίαν
οὐδενὸς οὐδ' ὑπω-
μοσίαν, ἀλλὰ τὴν
ταχίστην αὐτὴν δεῖ
XXIII (VI) εἶναι ἐν τῶι δικα-
8 στηρίωι· ἢ συνίηι
ποι ἐπὶ καταλύσει
τοῦ δήμου ἢ ἑταιρι-
κὸν συναγάγῃ, ἢ ἐάν
τις πόλιν τινὰ προ-
δῶι ἢ ναῦς ἢ πεζὴν
ἢ ναυτικὴν στρατι-
άν, ἢ ῥήτωρ ὢν μὴ
λέγηι τὰ ἄριστα τῶι
δήμωι τῶι Ἀθηναί-
ων χρήματα λαμβά-
νων· τὰ μὲν ἄνω
τοῦ νόμου κατὰ πάν-
των τῶν πολιτῶν
γράψαντες (ἐκ πάντων
γὰρ καὶ τἀδικήματα
ταῦτα γένοιτ' ἄν), τὸ
δὲ τελευταῖον τοῦ
νόμου κατ' αὐτῶν τῶν ῥη-
τόρων, παρ' οἷς ἔστιν
καὶ τὸ γράφειν τὰ ψη-
9 φίσματα. ἐμαίνε-
σθε γὰρ ἄν, εἰ ἄλλον τι-
νὰ τρόπον τὸν νό-
μον τοῦτον ἔθε-
σθε ἢ οὕτως, εἰ τὰς
μὲν τιμὰς καὶ τὰς
ὠφελίας ἐκ τοῦ λέ- XXIV (VII)
γειν οἱ ῥήτορες καρ-
ποῦνται, τοὺς δὲ κιν-
δύνους ὑπὲρ αὐτῶν
τοῖς ἰδιώταις ἀνεθή-
κατε. ἀλλ' ὅμως Πολύ-
ευκτος οὕτως ἐστὶν
ἀνδρεῖος, ὥστε εἰσ-
αγγελίαν διώκων
οὐκ ἔφη δεῖν τοὺς

Col. XXI. **22** γραφαιβασεβειας P; εἰσὶν desid. Bab., sed cf. col. XLV, 17 inserit Cb. post γραφαί, K. Sw.[1] post ἀσεβείας, L. C. Cp. post βασ. γράψαι ci. S B coll. Dem. 22, 26 γράφεται Sw. Kn. **23** βασιλεαι P.

Col. XXII. **1** γραφῆ (ει supra) littera η transfixa P **4** αχρη (ρ supra) littera ρ transfixa P **10** δικαστηριαι P **12** αποδοτε (ε supra) littera ο transfixa P **14** ῴεσθε Cb. B

**21** καταλυσῃ P **23** τοιαυτηι P **27** υπωμθσιαν P, quod puncto sub mediam lineolam litterae Θ posito correctum est.

Col. XXIII. **3** ποὐ littera υ transfixa P **16** παντω̄ P **20** κατατων (υτων supra) P **24** αλλοτια|να littera α in fine versus transfixa P **27** ἧτας (ει supra) littera η neque transfixa neque puncto suprapposito deleta est ἢ εἰ τὰς solus C. Cobeto post οὕτως nonnulla intercidisse videntur. cf. L[1]. p. 518; Gebauer argum. ex contr. p. 179 sq.

Col. XXIV. **9** αγγελιας (υ supra) littera σ transfixa P